# SPICILEGIUM HOMERI: HOM. OD. 1.1-157

Gonzalo Jerez Sánchez
gonzalojerez@ucm.es
Universidad Complutense de Madrid

**Resumen**

En esta contribución presento material didáctico para los primeros 157 versos del primer canto de la *Odisea* siguiendo la metodología que planteé en el número anterior de esta misma revista: *Thamyris* 9 (2018), 213-228.

**Palabras clave**

*Didáctica del griego antiguo*, *Homero*, *Odisea*, *paráfrasis*.

**Abstract**

I present hereby the first 157 verses of the first chant of the *Odyssey* according to the methodology I pointed out in the past number of this journal: *Thamyris* 9 (2018), 213-228.

**Key words**

*Teaching of ancient Greek*, *Homer*, *Odyssey*, *paraphrase.*

**1.1.1-43**: Εἰπέ μοι, ὦ Μοῦσα, περὶ τοῦ Ὀδυσσέως, ὃς τὴν μὲν Τροίαν ἑλὼν καὶ πολὺ κατὰ θάλατταν πλανώμενος πολλῶν ἀνθρώπων πόλεις εἶδε καὶ ἤθη ἔμαθεν. Μυρία δὲ κατὰ πάντα τὸν πλοῦν παθὼν ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ ἑταίρους ἐπειράσατο διασώσασθαι. Πλὴν ἐκεῖνοί γε εἰς τὰς τοῦ Ἡλίου βοῦς ἀσεβήσαντες ἀπώλοντο ἅπαντες πρὶν ἢ οἴκαδε ἀφικέσθαι. Περὶ ἑνὸς οὖν ἐκείνων, ὦ θεὰ Διὸς θύγατερ, εἰπὲ ἡμῖν ὅ τι οἶσθα.

ἔνισπε, εἰπέ πολυμήχανον, ἐπὶ πολλὰ τρεπόμενον

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ

ἀπεμακρύνθη
τῆς πατρίδος Τροίας πόλιν κατέλαβε

πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·

εἶδεν ἄστη χαρακτῆρας, ἤθη

πολλῶν δ’ ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,

οὑτοσί ἔπαθεν ἄλγη, πόνους κατὰ τὴν ἑαυτοῦ ψυχήν

πολλὰ δ’ ὅ γ’ ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,

πειρῶν σῶσαι ἢ κτᾶσθαι τὴν ἑαυτοῦ ζωήν

ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.

οὐχ οὕτως, μάτην ἑταίρους ἔσωσε καίπερ ὀρεγόμενος

ἀλλ’ οὐδ’ ὧς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·

ἑαυτῶν ἀνοησίαις ἀπέθανον

αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,

ἀνόητοι κατ...ἤσθιον Ἡλίου

νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο

τοῦ νόστου, τῆς ἐπιστροφῆς ἡμέραν

ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.

τούτων ἕνα, τινά Ἀθηνᾶ

τῶν ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.

Τῶν μὲν οὖν Ἑλλήνων τινές, ὅσοις γε τὸν τοῦ πολέμου καὶ τοῦ πλοῦ κίνδυνον διαφυγεῖν οἷόν τ' ἦν, ἀσφαλῶς οἴκοι ἤδη ἐτύγχανον διατρίβοντες. Ἐκεῖνον δὲ μόνον, ὃς τόν τε κατάπλουν καὶ τὴν γυναῖκα ἐπόθει, διεκώλυσεν ἡ νύμφη Καλυψώ, τὸν ἅπαντα χρόνον ἐν τῷ σπηλαίῳ κατέχουσα.

ἔφυγον αἰφνίδιον, ἄφευκτον θάνατον
ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
ἐν τῷ οἴκῳ ἦσαν καί
οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
τοῦτον ἕνα, μόνον ἐπιδεόμενον, χρείαν ἔχοντα καί
τὸν δ' οἶον, νόστου κεχρημένον ἠδὲ γυναικός,
γυνή, δέσποινα κατέρυκε, κατεῖχε λαμπρά, ἔνδοξος ἐν ταῖς θεαῖς
νύμφη πότνι' ἔρυκε Καλυψώ, δῖα θεάων,
σπηλαίοις κοίλοις βουλομένη ἄνδρα, δεσπότην
ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.

Ἀλλὰ καὶ νῦν αὖ πάλιν πληρωθείσης ἤδη αὐτῷ τῆς τῶν κακῶν προθεσμίας, εἰ καὶ οἱ θεοὶ συνῄνεσαν τὴν εἰς τὴν Ἰθάκην ἐπάνοδον, οὐδὲν ἧττον ὁ Ὀδυσσεὺς ἔσχε παῦλαν τῶν κακῶν καίπερ παρὰ τοῖς ἑταίροις ἔτι τυγχάνων. Καίτοι γὰρ ἁπάντων τῶν θεῶν πλὴν τοῦ Ποσειδῶνος ἐλεούντων, ὅδε σφροδρῶς ἐμίσει τὸν θεομάχον Ὀδυσσέα καὶ δὴ τόνδ' ἐκώλυε οἴκαδε νοστῆσαι.

τελουμένων τῶν χρόνων
ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
οὕτως τούτῳ ἔνειμαν πρὸς τὸν οἶκον νοστεῖν
τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
τότε ἦν ἄθλων, ἀγώνων
εἰς Ἰθάκην, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων

ἑαυτοῦ, ἰδίοις φίλοις ἠλέουν, ηὐσπλαγχνίζοντο

καὶ μετὰ οἷσι φίλοισι· θεοὶ δ’ ἐλέαιρον ἅπαντες

πλήν, χωρίς οὗτος σφοδρῶς ἤχθαιρε, ἐμίσει

νόσφι Ποσειδάωνος· ὁ δ’ ἀσπερχὲς μενέαινεν

θεομάχῳ Ὀδυσσεῖ πρός ἑαυτοῦ, ἰδίαν γῆν ἀφικέσθαι

ἀντιθέῳ Ὀδυσῆϊ πάρος ἣν γαῖαν ἱκέσθαι.

Ἀλλ’ ὁ Ποσειδῶν ἀπεδήμει ποτὲ ταύρων τε καὶ κριῶν ἑκατόμβης μεθέξων εἰς τοὺς Αἰθίοπας, οἳ ἁπάντων τῶν ἀνθρώπων οἰκοῦσιν ἔσχατοι, οἱ μὲν πρὸς ἀνατολήν, οἱ δὲ πρὸς δύσιν. Τότε δὴ ὁ Ζεὺς ἐν τῷ τῶν θεῶν συλλόγῳ μεμνημένος τοῦ Αἰγίσθου, ὃν ὁ Ὀρέστης ἀπέκτεινεν, ἤρξατο πρὸς αὐτοὺς λέγων ὧδε·

ἦλθεν τηλόθι, μακράν ὄντας

ἀλλ’ ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ’ ἐόντας,

οἵδε χωρίς, κεχωρισμένοι χωρίζονται

Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,

δύσεως Ἡλίου ἀνατολῆς

οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ’ ἀνιόντος,

ἀντιποιούμενος, μετέχων

ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

οὗτος ἐτέρπετο, εὐωχεῖτο εὐωχίᾳ διατρίβων, καταλύων

ἔνθ’ ὅ γε τέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι

Διός ἐν μεγάροις ὁμοῦ

Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίου ἁθρόοι ἦσαν.

τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·

ἐμίμνῃσκε ἀμέμπτου Αἰγίσθου

μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,

τόνδε ὁ υἱὸς τοῦ Ἀγαμέμνονος, Ὀρέστης ἔνδοξος ἐφόνευσεν

τόν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν' Ὀρέστης·

τοῦδε οὑτοσί μνημονεύων ἔπη, λόγους ἀθανάτοις ἔλεγεν

τοῦ ὅ γ' ἐπιμνησθεὶς ἔπε' ἀθανάτοισι μετηύδα·

"Ὦ πόποι, ὅσα κακὰ οἱ θνητοὶ ἡμᾶς αἰτιῶνται! Παρ' ἡμῶν γὰρ ἑαυτοῖς φασὶ τὰ κακὰ πάντα εἶναι. Καίτοι πάσχοντες οἷα πάσχουσιν, αὐτοὶ παρ' ἑαυτῶν ἐξ ἀνοίας λίαν δεινῶς ἔχουσιν. Αὐτίκα γὰρ ὁ Αἴγισθος εὐθέως ἐκ Τροίας ἀνελθόντα τὸν τοῦ Ἀτρέως υἱὸν ἀνεῖλεν καὶ τὴν γυναῖκα αὐτοῦ ἔσχε λαβών. Καίτοι παρ' ἡμῶν ὁ Ἑρμῆς προαπηγόρευσεν αὐτῷ μὴ κτεῖναι ἐκεῖνον μήτε μὴν γῆμαι τὴν Κλυταιμνήστραν ὡς ἀποθανοῦντι·

ὢ παπαῖ, φεῦ ὥς, ὁπόσον δή θνητοί κατηγοροῦσιν

"Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.

ἡμῶν κακά εἶναι

ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ

ἑαυτῶν ἀνοησίαις ὑπὲρ τὴν μοῖραν, λίαν ἄλγεα, πόνους

σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν,

Ἀτρείδου

ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο

ἔγημε γυναῖκα προσφιλῆ, ἠγαπημένην ἀπέκτεινεν

γῆμ' ἄλοχον μνηστήν, τὸν δ' ἔκτανε νοστήσαντα,

αἰφνίδιον, ἄφευκτον θάνατον τούτῳ προείπομεν

εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,

Ἑρμῆν εὔσκοπον, ὀξυδερκῆ

Ἑρμείαν πέμψαντες, ἐΰσκοπον Ἀργεϊφόντην,

ἀποκτείνειν βούλεσθαι γαμεῖν ἄλοχον

μήτ' αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·

“ Ὁ γὰρ Ὀρέστης ἐν ἡλικίᾳ γενόμενός τε καὶ τῆς πατρίδος ποθῶν τιμωρήσει τὸν πατέρα”. Ταῦτα δὲ τῷ Ἑρμῇ εἰπόντι οὐδαμῶς ἐκεῖνος πειθόμενος νῦν ἀθρόα ἐκ τῆς ἑαυτοῦ ἀνοίας ἀπέτισε τὰ πάντα.

τιμωρία, ἐκδίκησις ἔσται Ἀτρείδου

“ Ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,

ἐπάν ἑαυτοῦ, ἰδίας ποθεῖ γῆς

ὁππότ’ ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης”.

οὕτως εἶπεν Ἑρμῆς τὴν βούλησιν Αἰγίσθου

ὣς ἔφαθ’ Ἑρμείας, ἀλλ’ οὐ φρένας Αἰγίσθοιο

ἔπειθε ἀγαθὸς ὤν ἅπαντα ὁμοῦ δίκας ἔδωκεν

πεῖθ’ ἀγαθὰ φρονέων· νῦν δ’ ἀθρόα πάντ’ ἀπέτεισε”.

**1.1.1-43a:**

1.

| | |
|---|---|
| ἐπλάγχθη | ἔσωσε |
| πτολίεθρον | ὀρεγόμενος |
| ἔπερσε | πόλιν |
| ἐρρύσατο | ἀνόητοι |
| ἱέμενος | ἡμέρα |
| ἀτασθαλίῃσιν | αἰφνίδιον, ἄφευκτον |
| ὄλοντο | κατέλαβε |
| νήπιοι | ἀπέθανον |
| ἦμαρ | ἀπεμακρύνθη τῆς πατρίδος |
| αἰπύν | ἀνοησίαις |

2.

| | |
|---|---|
| ὄλεθρον | δέσποινα |
| ἠδέ | κατεῖχε |
| οἶον | ἐπιδεόμενον, χρείαν ἔχοντα |

| | |
|---|---|
| κεχρημένον | ἕνα, μόνον |
| πότνια | ἐπεκλώσαντο |
| ἔρυκε | θάνατον |
| γλαφυροῖσι | ἄνδρα |
| λιλαιομένη | καί |
| πόσιν | νοστεῖν |
| ἔνειμαν | βουλομένη |
| νέεσθαι | κοίλοις |

3.

| | |
|---|---|
| ἄεθλος | ἠλέουν, ὑσπλαγχνίζοντο |
| ἐλέαιρον | εὐωχεῖτο |
| νόσφι | ἀγών, μόχθος |
| ἀσπερχές | μακράν |
| τηλόθι | κεχωρισμένοι |
| διχθά, χωρίς | διατρίβων, καταλύων |
| δεδαίαται | πλήν, χωρίς |
| τέρπετο δαιτί | σφοδρῶς |
| παρήμενος | χωρίζονται |

4.

| | |
|---|---|
| ἀθρόοι | εἶναι |
| μνήσατο | εἶπον |
| ἔκτανε | ὤ παπαῖ, φεῦ |
| ηὔδησα | ἐδολοφόνησε |
| ὢ πόποι | ὁμοῦ |
| ᾐτιασάμην | ἐμίμνῃσκε, ἐμνημόνευε |
| ἔμμεναι | κατηγόρησα |

5.

| | |
|---|---|
| τοί | δίκας ἔδωκεν |
| μόρος | γυνή |
| ἄλοχος | μοῖρα |
| τίσις | γῆς |
| ἱμείρεται | οἶδε |
| αἴης | βούλησιν |
| ἔφατο | τιμωρία, κόλασις, ἐκδίκησις |
| φρένας | εἶπεν |
| ἀπέτεισε | ποθεῖ |

**1.1.1-43b:**

εἰπέ

Ἄνδρα μοι , Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ

ἀπεμακρύνθη τῆς πατρίδος πόλιν κατέλαβε

, ἐπεὶ Τροίης ἱερὸν ·

εἶδεν πόλεις χαρακτῆρας, ἤθη

πολλῶν δ’ ἀνθρώπων καὶ ἔγνω,

οὑτοσί ἔπαθεν ἄλγη, πόνους κατὰ τὴν ἑαυτοῦ ψυχήν

πολλὰ δ’ ’ ἐν πόντῳ ,

πειρῶν σῶσαι ἢ κτᾶσθαι τὴν ἑαυτοῦ ζωήν

τε καὶ νόστον ἑταίρων.

οὐχ οὕτως, μάτην ἑταίρους ἔσωσε καίπερ ὀρεγόμενος

ἀλλ’ ’ , ·

ἑαυτῶν ἀνοησίαις ἀπέθανον

αὐτῶν γὰρ ,

< νή (οὐ) ἔπος: ἀνόητοι κατ...ἤσθιον < ὑπὲρ ἡμᾶς ἰόντος Ἡλίου

, οἳ βοῦς

< ἀφαιροῦμαι < νόστος: ἐπιστροφή ἡμέραν

· αὐτὰρ ὁ τοῖσιν .

τούτων ἕνα, τινά Ἀθηνᾶ

γε, θεά, , εἰπὲ καὶ ἡμῖν.

ἔφυγον αἰφνίδιον, ἄφευκτον θάνατον

ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι ,

ἐν τῷ οἴκῳ ἦσαν καί

, πόλεμόν τε πεφευγότες θάλασσαν·

τοῦτον ἕνα, μόνον ἐπιδεόμενον, χρείαν ἔχοντα

δ' , νόστου ἠδὲ γυναικός,

γυνή, δέσποινα κατεῖχε λαμπρά, ἔνδοξος ἐν ταῖς θεαῖς

νύμφη ' Καλυψώ, ,

σπηλαίοις κοίλοις βουλομένη ἄνδρα, δεσπότην

ἐν , εἶναι.

τελουμένων τῶν χρόνων

ἀλλ' ὅτε δὴ ἔτος ἦλθε ,

οὕτως τούτῳ ἔνειμαν πρὸς τὸν οἶκον νοστεῖν

θεοὶ

τότε ἦν ἄθλων, ἀγώνων

εἰς Ἰθάκην, οὐδ' πεφυγμένος

ἰδίοις ἠλέουν, ηὐσπλαγχνίζοντο

καὶ μετὰ φίλοισι· θεοὶ δ' ἅπαντες

πλήν, χωρίς οὗτος σφοδρῶς ἤχθαιρε, ἐμίσει

Ποσειδάωνος· δ'

πρός ἑαυτοῦ, ἰδίαν γῆν ἀφικέσθαι

ἀντιθέῳ Ὀδυσῆϊ .

ἦλθεν τηλόθι, μακράν ὄντας
ἀλλ’ ὁ μὲν Αἰθίοπας ’ ,
οἵδε χωρίς, κεχωρισμένοι χωρίζονται
Αἰθίοπας, , ἔσχατοι ἀνδρῶν,
δύσεως ἀνατολῆς
οἱ μὲν Ὑπερίονος, οἱ δ’ ,
ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
εὐωχεῖτο διατρίβων, καταλύων
ἔνθ’ ὅ γε · οἱ δὲ δὴ ἄλλοι
Διός ἐν ὁμοῦ
μεγάροισιν Ὀλυμπίου ἦσαν.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ἐμίμνησκε ἀμέμπτου Αἰγίσθου
γὰρ κατὰ θυμὸν ,
τόνδε ὁ υἱὸς τοῦ Ἀγαμέμνονος, Ὀρέστης ἔνδοξος ἐδολοφόνησε
ῥ’ ’ Ὀρέστης·
τοῦδε οὑτοσί μνημονεύων ἔπη, λόγους ἀθανάτοις ἔλεγε
, , .
ὢ παπαῖ, φεῦ ὥς, ὁπόσον θνητοί κατηγοροῦσιν
“ , δή νυ θεοὺς .
ἡμῶν εἶναι
ἐξ γάρ φασι κάκ’ · οἱ δὲ καὶ αὐτοὶ
ἑαυτῶν ἀνοησίαις ὑπὲρ τὴν μοῖραν, λίαν
ἄλγε’ ἔχουσιν,
Ἀτρείδου
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον

ἔγημε γυναῖκα προσφιλῆ, ἠγαπημένην

’ , τὸν δ’ ἔκτανε νοστήσαντα,

τούτῳ προείπομεν

εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ ἡμεῖς,

Ἑρμῆν εὔσκοπον, ὀξυδερκῆ

πέμψαντες, Ἀργεϊφόντην,

ἀποκτείνειν γαμεῖν ἄλοχον

μήτ’ αὐτὸν μήτε ·

κόλασις, τιμωρία, ἐκδίκησις

“ ἐκ γὰρ Ὀρέσταο ἔσσεται Ἀτρεΐδαο,

ἐπάν < ἡβῶ ἑαυτοῦ, ἰδίας ποθεῖ γῆς

’ τε καὶ .”

οὕτως εἶπεν τὴν βούλησιν

’ Ἑρμείας, ἀλλ’ οὐ Αἰγίσθοιο

ἔπειθε ἀγαθὸς ὢν ἅπαντα ὁμοῦ δίκας ἔδωκεν

’ · νῦν δ’ ’ ”.

**1.2.44-95**: Ἔπειτα δ’ ἡ Ἀθηνᾶ τῷ Διὶ ἀποκριναμένη ἔφη τάδε, “Ὦ πάτερ μέγιστε, ἐκεῖνος μὲν τῷ πρέποντι ὀλέθρῳ ὑπόκειται· κακὸς δὲ κακῶς ἀπόλοιτο καὶ ἄλλος, ὃς τοιαῦτά γε κακουργεῖ. Ἀλλ’ ἐμέ γε φλέγει δεινῶς ἡ μνήμη τοῦ Ὀδυσσέως. Ὅδε οὖν πολὺν ἤδη χρόνον μακρὰν τῶν φίλων ἀνάξια πάσχει ἐν νήσῳ ὑλώδει, ἣ ὀμφαλός ἐστι τῆς θαλάττης, παρὰ Καλυψοῖ τῇ τοῦ ὀλεθρίου Ἄτλαντος. Ὅδε δὲ τὰ βάθη τῆς θαλάττης οἶδε καὶ κίονας ἔχει, αἷς ἥ τε γῆ καὶ ὁ οὐρανὸς ἑκατέρωθεν ἐρείδονται.

ἀπεκρίνατο

τὸν δ’ ἠμείβετ’ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

ὑπέρτατε, ἀνώτατε ἀρχόντων, βασιλέων

“Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,

λίαν ἐκεῖνος πρέποντι, ὁμοίῳ

καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ,

εἴθε ἀπόλοιτο ὅστις ἐπιτελοίη, πράττοι

ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.

πολεμόφρονι διακόπτεται, μερίζεται ἡ ψυχή

ἀλλά μοι ἀμφ᾽ Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ,

μεγάλα κακὰ παθόντι, δυστυχεῖ δήν, πολὺν χρόνον ἀπὸ φίλων ὀλέθρους, κακά

δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει

τῇ ἀμφοτέρωθεν περιρρεομένῃ ὅπου μέση τῆς περὶ αὐτὴν θαλάττης ἢ τὸ βάθος

νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ᾽ ὀμφαλός ἐστι θαλάσσης,

ἀλσώδης ἐν... ναίει, οἰκεῖ

νῆσος δενδρήεσσα, θεὰ δ᾽ ἐν δώματα ναίει,

ὀλεθρίου

Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης

βένθη, βάθη στύλους

πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς

μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι.

Αὕτη γὰρ πραέσι μὲν λόγοις χρωμένη, ἀεὶ δὲ θέλγουσα τοῦτον κατέχει ὀδυρόμενον ὅπως ἂν μάλιστ᾽ ἐπιλάθοιτο τῆς Ἰθάκης. Ἐκεῖνος οὖν καὶ καπνὸν ἰδὼν τῆς πατρίδος ποθὲν ἀναφερόμενον, ἀσμένως ἂν τεθναίη. Ἀλλὰ σύ γ᾽, ὦ Ὀλύμπιε, οὐδέπω περὶ αὐτοῦ ἐφρόντισες. Ἢ οὐ μέμνησαί γε ὁποσάκις ἐκεῖνος ἔθυσέ σοι παρὰ ταῖς τῶν Ἑλλήνων ναυσὶν ἐν τῇ Τροίᾳ; Τί οὖν τόδε τὸ σὸν μῖσος πρὸς ἐκεῖνον;

τούτου ἄθλιον λυπούμενον κατέχει, κωλύει

τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,

ἀεί παραινετικοῖς, εὐνοϊκοῖς, θελκτικοῖς λόγοις

αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι

διὰ μαγείας γοητεύει ἀμνήμων γενήσηται

θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεύς,

πλησιάζων, ἐγγίζων ἀνερχόμενον, ἀναφερόμενον ἰδεῖν

ἱέμενος καὶ καπνὸν ἀποθρῴσκοντα νοῆσαι

ἰδίας, ἑαυτοῦ γῆς ἀποθανεῖν ἐπιθυμεῖ

ἧς γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ

κάμπτεται ἡ σὴ ψυχή

ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε; οὔ νύ τ' Ὀδυσσεὺς

ναυσίν θύων

Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων

Τροίᾳ εὐρείᾳ τί αὐτῷ τοσοῦτον ὠργίσθης, ὦ Ζεῦ;

Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;"

Ὁ δὲ Ζεῦς πρὸς ταῦτα· "Τέκνον ἐμόν, ποῖον λόγον εἴρηκας; Πῶς γὰρ ἂν ἔγωγε Ὀδυσσέως ἐπιλαθοίμην, ὃς τῇ τε φρονήσει καὶ τῇ εὐσεβείᾳ ὑπερέχει πάντων τῶν ἀνθρώπων καὶ πολλὰ ἱερὰ ἡμῖν τοῖς οὐρανίοις προσήνεγκεν;

ἀποκρινόμενος εἶπε ὁ τὰς νεφέλας ἐγείρων

Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

τὰ χείλη

"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

ἀμνήμων γενοίμην

πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,

ὑπέροχος τὸν νοῦν περισσῶς, πάμπολλα ἱερά, θυσίας θεοῖς

ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν

οἵτινες

ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;

Ἀλλ’ ὁ Ποσειδῶν ἀεὶ τοῦ Κύκλωπος ἕνεκεν ὀργίζεται. Ἐστέρησεν οὖν τοῦ ὀφθαλμοῦ τὸν μέγιστα ἐν τοῖς Κύκλωψι δυνάμενον Πολύφημον, ὃν Θόωσα ἡ νύμφη ἐν τοῖς θαλαττίοις σπηλαίοις τῷ Ποσειδῶνι συνοῦσα ἔτεκεν. Ἀνθ’ οὗ ὀργισθεὶς ἐκεῖνος, ἀπώλεσε μὲν οὔ, πλανᾶσθαι δ’ ἔτι βούλεται αὐτὸν ἀπὸ τῆς πατρίδος. Ἡμεῖς οὖν βουλευσώμεθα περὶ αὐτοῦ, ὅπως ἂν Ποσειδῶνος τῆς ὀργῆς παυσαμένου ἀσφαλῶς ἐπανέλθῃ. Οὐ γὰρ ἂν ἀντισταίη μόνος οὗτος ἡμῖν τοσούτοις ὁμοφρονοῦσιν”.

ὁ ἔχων ἤτοι συνέχων τὴν γῆν ἄγαν σκληρόν ἀεί

ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰὲν

ἐστέρησεν τὸν Κύκλωπα τοῦ ὀφθαλμοῦ

Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,

θεομάχον οὗ

ἀντίθεον Πολύφημον, ὅου κράτος ἐστὶ μέγιστον

Κύκλωψιν αὐτόν ἔτεκε, ἐγέννησε

πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,

θαλάττης ἀκάρπου ἐπιμελουμένου, δεσπότου

Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος,

σπηλαίοις κοίλοις Ποσειδῶνι συνοῦσα

ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.

ἐξ οὗ Ὀδυσσέα Ποσειδῶν σεισίχθων, ὁ τὴν γῆν σείων

ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων

ἀποκτείνει ἀποπλανᾷ πατρῴας γῆς

οὔ τι κατακτείνει, πλάζει δ’ ἀπὸ πατρίδος αἴης.

ἡμεῖς αὐτοί φροντίζωμεν περὶ τοῦ νόστου

ἀλλ’ ἄγεθ’ ἡμεῖς οἵδε περιφραζώμεθα πάντες

ἔλθῃ ἐάσει

νόστον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει

ἑαυτοῦ ὀργήν πρό, κατά

ὃν χόλον· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων

ἀκουσίως, παρὰ τὴν θέλησιν ἐρίζειν μόνος

ἀθανάτων ἀέκητι θεῶν ἐριδαινέμεν οἶος".

Ἡ δ' Ἀθηνᾶ πρὸς ταῦτα ἀπεκρίνατο· "Ὦ ἡμέτερε πάτερ Κρονίδα, εἰ μὲν κατὰ θυμόν ἐστι τοῖς μακαρίοις θεοῖς ἐπανελθεῖν οἴκαδε Ὀδυσσέα, πέμπωμεν τὸν Ἑρμῆν εἰς τὴν Ὠγυγίαν ὡς ἐροῦντα τῇ νύμφῃ τὰ πᾶσιν ἡμῖν περὶ τοῦ ἐκείνου νόστου δόξαντα. Ἐγὼ δ' αὐτίκα εἰς Ἰθάκην ἰοῦσα παροτρυνῶ τὸν παῖδα αὐτοῦ, τοῖς τε μνηστῆρσιν αὐτοῖς τὴν τῶν προβάτων σφαγὴν ἀπαγορεῦσαι καὶ εἰς Σπάρτην τε καὶ Πύλον ἰέναι. Πεύσεται μὲν οὖν περὶ τοῦ πατρὸς εἴ τι μάθοι, ὅπως κλέος αὐτοῦ παρὰ πᾶσι τοῖς ἀνθρώποις γένηται".

τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

"Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,

ἀρεστόν μακαρίοις, ὀλβίοις

εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,

συνετόν, σώφρονα ἑαυτοῦ οἴκαδε

νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,

Ἑρμῆν διάκονον

Ἑρμείαν μὲν ἔπειτα, διάκτορον Ἀργεϊφόντην,

ὀτρύνωμεν, παραινῶμεν ἰέναι ὅπως

νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα

εὐπλοκάμῳ, καλοὺς πλοκάμους ἐχούσῃ ἀναμάρτητον, ἀληθῆ

νύμφῃ ἐϋπλοκάμῳ εἴπῃ νημερτέα βουλήν,

τλήμονος, καρτεροψύχου, καρτερικοῦ ἄν ἐπιστρέφῃ

νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται.

αὐτὰρ ἐγὼν Ἰθάκηνδε ἐλεύσομαι, ὄφρα οἱ υἱὸν

ἐνθαρρύνω τούτῳ νοερὰν ἀλκήν ἐν... θήσω
μᾶλλον ἐποτρύνω καί οἱ μένος ἐν φρεσὶ θείω,
ἀγοράν κομοτροφοῦντας
εἰς ἀγορὴν καλέσαντα κάρη κομόωντας Ἀχαιοὺς
ἀγορεύειν
πᾶσι μνηστήρεσσιν ἀπειπέμεν, οἵ τέ οἱ αἰεὶ
πρόβατα πολλά βραδεῖς ἑλικοειδῆ κέρατα ἔχοντας ἢ μέλανας
μῆλ' ἁδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς.
ἀμμώδη
πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
μαθησόμενον ἐάν
νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ,
τοῦτον καλὴ δόξα παρ' ἀνθρώποις ἔχῃ
ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν".

**1.2.44-95a:**

1.

| | |
|---|---|
| ὕπατε | ἐπιτελοίη, πράττοι |
| κρειόντων | τῇ ἀμφοτέρωθεν περιρρεομένῃ |
| ῥέζοι | ἀλσώδης |
| δαΐφρονι | πολὺν χρόνον |
| δαίεται | ὑπέρτατε, ἀνώτατε |
| δαΐς | ἀρχόντων, βασιλέων |
| δενδρήεσσα | διακόπτεται, μερίζεται |
| δηθά | πολεμόφρονι |
| ἦτορ | ὀλέθρους, κακά |
| δυσμόρῳ | κακὰ παθόντι, δυστυχεῖ |

| | |
|---|---|
| πήματα | ψυχή |
| ἀμφιρύτῃ | μάχη |

2.

| | |
|---|---|
| ἐνναίει | κατέχω, κωλύω |
| ὀλοόφρονος | παραινετικοῖς, εὐνοϊκοῖς |
| βένθεα | δύστηνον |
| κίονας | οἰκεῖ |
| ἄθλιον | γοητεύει (διὰ μαγείας) |
| ὀδυρόμενον | γενήσηται ἀμνήμων |
| κατερύκω | ἀνερχόμενον, ἀναφερόμενον |
| αἱμυλίοισι | στύλους |
| θέλγει | βάθη |
| ἐπιλήσεται | λυπούμενον |
| ἀποθρῴσκοντα | ὀλεθρίου |

3.

| | |
|---|---|
| ἐντρέπεται | τὰ χείλη |
| ὠδύσαο | ὁ τὴν γῆν ἔχων ἤτοι συνέχων |
| νεφεληγερέτα | ἄγαν σκληρόν |
| ἕρκος ὀδόντων | κάμπτεται |
| λαθοίμην | ὠργίσθης |
| γαιήοχος | ἀμνήμων γενοίμην |
| ἀσκελές | τὰς νεφέλας ἐγείρων |

4.

| | |
|---|---|
| ὀφθαλμοῦ ἀλάωσεν | συνοῦσα |
| ἀντίθεον | ἀκάρπου |
| τέκε | θαλάττης |
| ἀτρυγέτοιο | θεομάχον |

| | |
|---|---|
| μέδοντος | σεισίχθων, ὁ τὴν γῆν σείων |
| ἁλός | ἐγέννησε |
| μιγεῖσα | ἐστέρησεν τοῦ ὀφθαλμοῦ |
| ἐνοσίχθων | ἐπιμελουμένου |

5.

| | |
|---|---|
| περιφραζώμεθα νόστον | ἐάσει |
| μεθήσει | πρό, κατά |
| χόλον | ἐρίζειν |
| ἀντία | συνετόν, σώφρονα |
| ἀέκητι | μόνος |
| ἐριδαινέμεν | ὀργήν |
| οἶος | ἀκουσίως, παρὰ τὴν θέλησιν |
| πολύφρονα | οἴκαδε |
| δόμονδε | φροντίζωμεν περὶ τοῦ νόστου |

6.

| | |
|---|---|
| διάκτορον | ἀναμάρτητον, ἀληθῆ |
| ἤν | κομοτροφοῦντας |
| νημερτέα | διάκονον |
| ταλασίφρονα | βραδεῖς |
| νέηται | ἐάν |
| κάρη κομόωντας | ἀμμώδη |
| μῆλα | ἑλικοειδῆ κέρατα ἔχων ἢ μέλας |
| ἀδινά | πρόβατα |
| εἰλίπους | καρτερόψυχον, καρτερικόν |
| ἕλικας | ἐπιστρέφῃ |
| ἠμαθόεντα | συχνά, πυκνά, πολλά |

**1.2.44-95a:**

ἀπεκρίνατο

τὸν δ’ ’ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

ὑπέρτατε, ἀνώτατε ἀρχόντων, βασιλέων

“Ὦ πάτερ ἡμέτερε Κρονίδη, ,

λίαν ἐκεῖνος πρέποντι, ὁμοίῳ

καὶ γε κεῖται ὀλέθρῳ,

εἴθε ἀπόλοιτο ὅστις ἐπιτελοίη

καὶ ἄλλος τοιαῦτά γε .

πολεμόφρονι διακόπτεται, μερίζεται ψυχή

ἀλλά μοι ἀμφ’ Ὀδυσῆϊ ,

μεγάλα κακὰ παθόντι, δυστυχεῖ δήν, πολὺν χρόνον ἀπὸ φίλων ὀλέθρους, κακά

, ὃς δὴ πάσχει

τῇ ἀμφοτέρωθεν περιρρεομένῃ ὅπου μέση τῆς περὶ αὐτὴν θαλάσσης ἢ τὸ βάθος

νήσῳ ἐν , τ’ ἐστι θαλάσσης,

ἀλσώδης ἐν... ναίει: οἰκεῖ

νῆσος , θεὰ δ’ ,

ὀλεθρίου

Ἄτλαντος θυγάτηρ , ὅς τε θαλάσσης

βένθη, βάθη στύλους

πάσης οἶδεν, ἔχει δέ τε αὐτὸς

μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι.

τούτου ἄθλιον λυπούμενον κατέχει, κωλύει

θυγάτηρ ,

ἀεί παραινετικοῖς, εὐνοϊκοῖς, θελκτικοῖς

δὲ μαλακοῖσι καὶ λόγοισι

γοητεύει (διὰ μαγείας) ἀμνήμων γενήσηται

, ὅπως Ἰθάκης · αὐτὰρ Ὀδυσσεύς,

πλησιάζων, ἐγγίζων ἀνερχόμενον ἰδεῖν

καὶ καπνὸν

ἰδίας, ἑαυτοῦ ἀποθανεῖν

γαίης, ἱμείρεται. οὐδέ νυ σοί περ

< ἐν+τρέπω: κάμπτεται σὴ ψυχή

, Ὀλύμπιε; οὔ νύ τ' Ὀδυσσεὺς

ναυσίν θύων

Ἀργείων παρὰ χαρίζετο

Τροίᾳ εὐρείᾳ τί αὐτῷ τοσοῦτον ὠργίσθης, ὦ Ζεῦ;

ἐν ; νύ , ;"

ἀποκρινάμενος εἶπε < ἐγείρω + νεφέλαι

τὴν δ' Ζεύς·

τὰ χείλη

"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν .

ἀμνήμων γενοίμην

πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο ,

ὑπέροχος τὸν νοῦν περισσῶς, πάμπολλα ἱερά, θυσίας θεοῖς

ὃς μὲν βροτῶν, δ'

οἵτινες

ἀθανάτοισιν ἔδωκε, οὐρανὸν εὐρὺν ἔχουσιν;

ὁ ἔχων ἤτοι συνέχων τὴν γῆν ἄγαν σκληρόν ἀεί

ἀλλὰ Ποσειδάων

ἐστέρησεν τὸν Κύκλωπα τοῦ ὀφθαλμοῦ

Κύκλωπος κεχόλωται, ,

τοῖς θεοῖς ἑαυτὸν ὁμοιοῦντα, θεομάχον οὗ

Πολύφημον, κράτος ἐστὶ μέγιστον

Κύκλωψιν αὐτόν ἔτεκε, ἐγέννησε

πᾶσιν · Θόωσα δέ νύμφη,

θαλάττης ἀκάρπου ἐπιμελουμένου, δεσπότου

Φόρκυνος θυγάτηρ, ,

συνοῦσα

ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι .

ἐξ οὗ Ὀδυσσέα Ποσειδῶν σεισίχθων, ὁ τὴν γῆν σείων

δὴ

οὔ τι κατακτείνει, πλάζει δ’ ἀπὸ πατρίδος αἴης.

ἡμεῖς αὐτοί φροντίζωμεν περὶ τοῦ νόστου

ἀλλ’ ἄγεθ’ πάντες

ἐπιστροφῆς ἔλθῃ ἐάσει

, ὅπως · Ποσειδάων δὲ

ἑαυτοῦ ὀργήν πρό, κατά

· οὐ μὲν γάρ τι δυνήσεται πάντων

ἀκουσίως, παρὰ τὴν θέλησιν ἐρίζειν μόνος

ἀθανάτων θεῶν ”.

τὸν δ’ ἠμείβετ’ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

“Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,

ἀρεστόν μακαρίοις, ὀλβίοις

εἰ μὲν δὴ νῦν τοῦτο θεοῖσι,

συνετόν, σώφρονα ἑαυτοῦ οἴκαδε

νοστῆσαι Ὀδυσῆα ,

Ἑρμῆν διάκονον
μὲν ἔπειτα, Ἀργεϊφόντην,
ὀτρύνωμεν, παραινῶμεν ἰέναι ὅπως
νῆσον ἐς Ὠγυγίην , τάχιστα
εὐπλοκάμῳ, καλοὺς πλοκάμους ἐχούσῃ ἀναμάρτητον, ἀληθῆ
νύμφῃ εἴπῃ βουλήν,
τλήμονος, καρτεροψύχου, καρτερικοῦ ἄν ἐπιστρέφῃ
νόστον Ὀδυσσῆος , ὥς .
αὐτὰρ ἐγὼν Ἰθάκηνδε ἐλεύσομαι, ὄφρα οἱ υἱὸν
ἐνθαρρύνω τούτῳ νοερὰν ἀλκήν ἐν... θήσω
μᾶλλον καί ἐν φρεσὶ ,
κομοτροφοῦντας
εἰς ἀγορὴν καλέσαντα Ἀχαιοὺς
ἀγορεύειν
πᾶσι μνηστήρεσσιν , οἵ τέ οἱ αἰεὶ
πρόβατα πολλά βραδεῖς ἑλικοειδῆ κέρατα ἔχοντας ἢ μέλανας
’ σφάζουσι καὶ βοῦς.
ἀμμώδη
πέμψω δ’ ἐς Σπάρτην τε καὶ ἐς Πύλον
< πυνθάνομαι: μαθησόμενον ἐάν
νόστον πατρὸς φίλου, που ἀκούσῃ,
αὐτὸν τοῦτον καλὴ δόξα ἔχῃ
ἠδ’ ἵνα ἐν ἀνθρώποισιν ”.

**1.3.96-157:** Ταῦτα δὲ εἰποῦσα ὑπεδήσατο εὐθὺς τὰ καλά, ἀμβρόσια, χρυσᾶ πέδιλα, οἷς τήν τε ξηρὰν καὶ ὑγρὰν διέτρεχε ἴση ταῖς τῶν ἀνέμων πνοαῖς. Λαβοῦσα δὲ δόρυ μέγα, βαρύ, στιβαρόν τε καὶ βαφῇ διαφέρον,

ᾧ ἡ θεὸς τὰς τῶν ἡρώων, οἷς ἂν ὀργίλως σχῇ, διαρρήγνυσι φάλαγγας, τὴν ταχίστην κατῄει ἄνωθεν τοῦ Ὀλύμπου. Ἥδε δὲ παραγενομένη εἰς τὴν Ἰθάκην ἔστη ἐπὶ τῆς φλιᾶς τῆς τοῦ Ὀδυσσέως οἰκίας, τὸ δόρυ ἐν χερσὶ φέρουσά τε καὶ τὸ τοῦ Μέντου τοῦ τῶν Ταφίων ἡγεμόνος εἶδος ἐνδύσασα.

τοῖς ποσί ὑπ...εδήσατο

ὣς εἰποῦσ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,

τοῖς θεοῖς προσήκοντα χρυσᾶ ταῦτα ταύτην ἔφερον μέν ἐπὶ τὴν θάλατταν

ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν

δέ τὴν πέρας μὴ ἔχουσαν γῆν ὁμοίως πνοαῖς ἀνέμου

ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇσ' ἀνέμοιο.

ἀφείλετο ἰσχυρόν βέλος ἠκονημένον, ὀξύ

εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,

βαρύ στερεόν ᾧ δαμάζει

βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν

ὀργίζεται ἀλκίμου πατρὸς θυγάτηρ

ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη,

ἔβη... κάτα, κατέβη Ὀλύμπου κορυφῶν πηδήσασα

βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα,

ἔστη ἐν προθύροις Ὀδυσσέως

στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ ἐπὶ προθύροισ' Ὀδυσῆος,

εἰσόδου τοῦ οἴκου τῇ χειρί εἶχε χαλκοῦν ὅπλον, λόγχη

οὐδοῦ ἐπ' αὐλείου· παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,

ὁμοία ξένῳ ἡγεμόνι, βασιλεῖ

εἰδομένη ξείνῳ, Ταφίων ἡγήτορι, Μέντῃ.

Ἔνθ' οἱ μνηστῆρες καθήμενοι πρὸ τῶν θυρῶν ἐπὶ βοείων βυρσῶν, οὓς αὐτοὶ ἔσφαζον, ἐτέρποντο τοῖς πεττοῖς παίζοντες, ἐν ᾧ οἱ κήρυκες

καὶ οἱ ἄοκνοι θεράποντες τούτοις ὑπηρέτουν. Οἱ μὲν οἶνον ἐν κρατῆρσιν ὕδατι ἐμίγνυον, οἱ δὲ τὰς τραπέζας τοῖς σπόγγοις ἀπομάξαντες, καὶ κρέα πολλὰ παραθέντες, τὸ δεῖπνον διῄρουν. Ταῦτ' οὖν θεωμένην τὴν Ἀθηνᾶν πρῶτος κατεῖδεν ὁ Τηλέμαχος. Τότε γὰρ τὸν ἑαυτοῦ πατέρα παρὰ τοῖς μνηστῆρσι καθήμενος ἐνενόει, εἴ ποθεν φανεὶς ἐκείνων ἄλλοσε ἄλλον διασκεδάσειεν, αὐτὸς δ' ἐν τιμῇ αὖθις παρὰ πᾶσι γενόμενος, τῶν πάντων κύριος εἴη.

ηὗρε ἀλκίμους, ὑπερηφάνους

Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας· οἱ μὲν ἔπειτα

κύβοις, ἀστραγάλοις πρό θυρῶν ἐτέρποντο

πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον,

καθήμενοι δοραῖς, δέρμασιν ἀπέκτειναν

ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί.

αὐτοῖς ἀκάματοι ὑπηρέται

κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες

οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,

πολλὰ τρήματα (τρύπας) ἔχουσι

οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας

ἔνιπτον, ἔπλυνον προυτίθεσαν διῄρουν

νίζον καὶ πρότιθεν, τοὶ δὲ κρέα πολλὰ δατεῦντο.

εἶδεν

τὴν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής·

ἐκαθέζετο περίλυπος τὴν ψυχήν

ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,

ὁρῶν καλόν ἐν

ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσίν, εἴ ποθεν ἐλθὼν

διασκορπισμόν, ἀπέλασιν οἴκοι

μνηστήρων τῶν μὲν σκέδασιν κατὰ δώματα θείη,

ἑαυτοῦ κυριαρχοίη

τιμὴν δ' αὐτὸς ἔχοι καὶ κτήμασιν οἷσιν ἀνάσσοι.

Ἐν δὴ τούτοις κατιδὼν τὴν θεὸν ἔσπευσεν πρὸς αὐτὴν ὀργιζόμενος εἴ τις ξένος ὢν διὰ πολλοῦ πρὸς τῇ θύρᾳ τυγχάνοι ἱστάμενος. Προσελθὼν οὖν καὶ ἅμα δεξιωσάμενός τε καὶ τὸ δόρυ παρ' ἐκείνου δεξάμενος ταῦτα εἶπε προσαγορεύσας· "Χαῖρ', ὦ ξένε, καὶ πρῶτον μὲν ἴθι δεῦρο παρ' ἐμοῦ φιλοφροσύνης, ὡς εἰκός, τευξόμενος. Εἶθ' οὕτως, τούτων καλῶς ἐχόντων, ἐρεῖς ἡμῖν, ὅστις καὶ ὅτου δεόμενος πάρει". Ταῦτα δ' εἰπών, αὐτὸς μὲν ἡγεῖτο, εἵπετο δ' ἡ θεός. Εἰσελθόντων ὁ μὲν τὸ δόρυ ἔθηκεν πρὸς τῷ κίονι ἐν τῇ δοροδόκῃ, ἔνθα πλεῖσθ' ὅσα τοιαῦτ' ἔκειτο τῶν τοῦ Ὀδυσσέως· τὴν δ' Ἀθηνᾶν ἄγων καθεῖσεν ἐπὶ καλὸν ὑπόστρωμα ἔχοντος θρόνου καὶ ὑποπόδιον αὐτῇ τοῖς ποσὶν ὑπέθηκεν.

καθήμενος εἶδεν τὴν Ἀθηνᾶν

Τὰ φρονέων μνηστῆρσι μεθήμενος εἴσιδ' Ἀθήνην,

εὐθέως ὠργίσθη

βῆ δ' ἰθὺς προθύροιο, νεμεσσήθη δ' ἐνὶ θυμῷ

ξένον πολὺν καιρόν θύραις ἐγγύς

ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν· ἐγγύθι δὲ στὰς

εἷλεν δεξιάν χαλκοῦν ὅπλον

χεῖρ' ἕλε δεξιτερὴν καὶ ἐδέξατο χάλκεον ἔγχος,

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

παρ' ἡμῖν φιλήσῃ, φιλοξενῇ, ξενίζῃ

"Χαῖρε, ξεῖνε, παρ' ἄμμι φιλήσεαι· αὐτὰρ ἔπειτα

γευσάμενος, φαγών ἐρεῖς, εἰπέ τίνος χρείαν ἔχεις

δείπνου πασσάμενος μυθήσεαι ὅττεό σε χρή".

οὕτως ἠκολούθει

ὣς εἰπὼν ἡγεῖθ’, ἡ δ’ ἕσπετο Παλλὰς Ἀθήνη.

ἐντός ἦσαν

οἱ δ’ ὅτε δή ῥ’ ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,

ἔγχος μέν ῥ’ ἔστησε φέρων πρὸς κίονα μακρὴν

δόρατος δοχεῖον εὐξέστου

δουροδόκης ἔντοσθεν ἐϋξόου, ἔνθα περ ἄλλα

ὅπλα Ὀδυσσέως τλήμονος

ἔγχε’ Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά,

λινοῦν σκέπασμα, ὕφασμα

αὐτὴν δ’ ἐς θρόνον εἷσεν ἄγων, ὑπὸ λῖτα πετάσσας,

εὖ πεποιημένον θρᾶνος, σκαμνίον, ὑποπόδιον ἦν

καλὸν δαιδάλεον· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.

Εἶτα καὶ αὐτὸς ἕτερον δίφρον παρέθηκε πολὺ πόρρω τῶν μνηστήρων ἵνα μὴ ὡς ἐν θορύβῳ καὶ ἀλαζόσι τῷ τε ξένῳ ἀποβαίη τι ἀηδὲς τῶν περὶ τὸ δεῖπνον καὶ αὐτῷ ἐξείη ἐν καιρῷ πυθέσθαι τι περὶ τοῦ πατρός. Ἐπειδὴ τοίνυν καιρὸς ἐλάμβανε νίψασθαι, ἐγχειρίζει μὲν ἡ θεραπαινὶς τὸ ὕδωρ ἐκ χρυσοῦ προχόου ἐπὶ λέβητος ἀργυροῦ. Ἡ δὲ ταμία παρετίθει ἐπὶ τῆς τραπέζης ἄρτον τε καὶ ἐδέσματα πλεῖστα, ὡς δ’ αὔτως καὶ ὁ μάγειρος πίνακας παντοίων κρεῶν. Παρατεθειμένων δ’ ἑξῆς καὶ χρυσῶν ποτηρίων, ἐκίρνα αὐτοῖς ὁ κῆρυξ μάλ’ εὐτραπέλως παρέχων τὸ ἔκπωμα.

δίφρον, καθέδραν παρ...έθετο χωρίς

πὰρ δ’ αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων

ἐνοχλούμενος θορύβῳ

μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὀρυμαγδῷ

κορέσαιτο, ἀνιάσαιτο θρασέσιν, ὑβρισταῖς ἐπιπεσών

δείπνῳ ἁδήσειεν, ὑπερφιάλοισι μετελθών,

ἡδ’ ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.

ὕδωρ δούλη

χέρνιβα δ’ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα

καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,

λείαν ἔστρωσεν

νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.

σεβαστή, ἀξιότιμος ταμίας, οἰκονόμος (*θηλ.*)

σῖτον δ’ αἰδοίη ταμίη παρέθηκε φέρουσα,

ἐδέσματα

εἴδατα πόλλ’ ἐπιθεῖσα, χαριζομένη παρεόντων·

ὁ ἐπὶ τῶν κρεῶν δοῦλος κρεῶν ἄρας

δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας

τούτοις παρετίθει

παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα,

αὐτοῖς θαμά, συχνῶς

κῆρυξ δ’ αὐτοῖσιν θάμ’ ἐπῴχετο οἰνοχοεύων.

Οἱ μὲν μνηστῆρες ἐν δὲ τούτῳ εἰσελθόντες ἐκαθέσθησαν ἑξῆς ἐπὶ τῶν θρόνων, οἱ δὲ κήρυκες ἐνέχεον νίψασθαι. Θεράπαιναι δὲ παρετίθεσαν αὐτοῖς ἐκ κανῶν ἄρτους τε καὶ ἐδέσματα. Εἶτα ᾠνοχόουν αὐτοῖς οἱ θεράποντες.

ἐς δ’ ἦλθον μνηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα

ἑξῆς, κατὰ σειράν καθέδρας

ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.

τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,

δοῦλαι ἐσώρευον πλησίον κανοῖς

σῖτον δὲ δμῳαὶ παρενήεον ἐν κανέοισι,

ἐπλήρουν ποτοῦ

κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.

Οἵδ' οὖν τὰς χεῖρας ἐξέτεινον πρὸς τὰ ἐδέσματα, κἀπειδὴ καλῶς αὐτοῖς εἶχε ταῦτα, οἱ μὲν μνηστῆρες τῇ τε μολπῇ καὶ τῇ ὀρχήσει, αἳ τοῖς εὐωχουμένοις κόσμον μάλιστα φέρει καὶ τέρψιν, προσεῖχον τὸν νοῦν. Ὁ δὲ Φήμιος, ὃς καὶ πρῴην αὐτοῖς ἀναγκαζόμενος ᾖδεν, καὶ νῦν, τοῦ κήρυκος τὴν κιθάραν αὐτῷ δόντος, ἀνεκρούετο προοίμιον ὅτι μάλιστα ἐμμελές. Ἐν δὲ τούτῳ δὴ ὁ Τηλέμαχος προσιὼν τῇ Ἀθηνᾷ πρὸς τὸ οὖς, ἵνα μή τῳ ἐκείνων ἔκπυστα γένοιτο, ἀνερώτα τοιαῦτα.

ἡδύσματα ταχέως ἐξέτεινον

Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

ποτοῦ ἐδέσματος ἐκορέσθησαν

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο

ἔμελεν

μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει,

ᾠδή, τὸ ᾄδειν χορός

μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.

μάλα καλήν

κῆρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέα θῆκε

ᾖδεν

Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.

ἦ τοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν,

αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην,

ἐγγύς μάθοιεν

ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

**1.3.96-157a:**

1.

| | |
|---|---|
| ἀμβρόσια | στερεόν |
| ἀπείρονα | ἰσχύς |
| βριθύ | τοῖς θεοῖς προσήκοντα |
| πνοιῇσ’ | βέλος |
| στιβαρόν | ἠκονημένον, ὀξύν |
| ἀλκή | τὴν πέρας μὴ ἔχουσαν |
| ἔγχος | βαρύ |
| ἀκαχμένον | πνοαῖς |

2.

| | |
|---|---|
| δάμνησι | ὀργίζεται |
| κοτέσσεται | ἀκάματοι |
| ὀβριμοπάτρη | κύβοις |
| ἀΐξασα | θυμὸν ἔτερπον |
| ὀτρηροί | καθήμενοι |
| ἀγήνορας | ἀλκίμου πατρὸς θυγάτηρ |
| πεσσοῖσι | δοραῖς, δέρμασιν |
| ἡσύχαζον | δαμάζει |
| ἥμενοι | πηδήσασα |
| ῥινοῖσι | ἀλκίμους |

3.

| | |
|---|---|
| νίζον | πολὺν καιρόν |
| πρότιθεν | ὁρῶν |
| ἧστο | προετίθεσαν |
| τετιημένος ἦτορ | ἑώρακε |
| ὀσσόμενος | βασιλεύοι |
| ἐσθλόν | καθήμενος |

| | |
|---|---|
| κατὰ δώματα | ἐκαθέζετο |
| ἀνάσσοι | περίλυπος τὴν ψυχήν |
| δηθά | ὠργίσθη |
| μεθήμενος | καλόν |
| εἴσιδ’ | οἴκοι |
| νεμεσσήθη | ἔνιπτον, ἔπλυνον |

4.

| | |
|---|---|
| ἐγγύθι | δόρατος δοχεῖον |
| πασσάμενος | ἠκολούθει |
| μυθήσεαι | ἐγγύς |
| ὅττεό σε χρή | εὐξέστου |
| ἕσπετο | γευσάμενος, φαγών |
| δουροδόκης | εἰπέ |
| ἐϋξόου | τίνος χρείαν ἔχεις |

5.

| | |
|---|---|
| λῖτα | ἐνοχλούμενος |
| δαιδάλεον | δίφρον, καθέδραν |
| θρῆνυς | ὕδωρ |
| κλισμόν | δούλη |
| ἀνιηθείς | θρασύσεσιν, ὑβρισταῖς |
| ὀρυμαγδῷ | σκαμνίον, ὑποπόδιον |
| ἁδήσειεν | λινοῦν σκέπασμα, ὕφασμα |
| ὑπερφιάλοισι | κορέσαιτο |
| χέρνιβα | θορύβῳ |
| ἀμφίπολος | θαυμαστόν |

6.

| | |
|---|---|
| αἰδοίη | δοῦλαι |
| ὀνείαθ’ | ἑξῆς, κατὰ σειράν |
| ἔδαρ | ἐδέσματα, εἴδατα |
| ἑξείης | ἐσώρευον πλησίον |
| δμῳαί | σεβαστή, ἀξιότιμος |
| παρενήεον | ἐδέσματα, ἡδύσματα |

7.

| | |
|---|---|
| ἰάλλω τὰς χεῖρας | βρώσεως |
| πόσιος | ᾠδή |
| ἐδητύος | ἐκτείνω τὰς χεῖρας |
| ἐξ ἔρον ἕντο | ᾖδεν |
| μολπή | ποτοῦ |
| ἤειδε | ἐκορέσθησαν |

**1.3.96-157b:**

τοῖς ποσί ὑπεδήσατο

ὣς εἰποῦσ’ καλὰ πέδιλα,

τοῖς θεοῖς προσήκοντα χρυσᾶ ταῦτα ταύτην ἔφεορν ἠμέν... ἠδέ...: μέν... δέ ἐπὶ τὴν θάλατταν

,

,

τὴν πέρας μὴ ἔχουσαν γῆν ὁμοίως πνοαῖς ἀνέμου

ἠδ’ ἐπ’ ’ .

< ἀφαιροῦμαι ἰσχυρόν βέλος ἠκονημένον, ὀξύ

δ’ , ὀξέϊ χαλκῷ,

βαρύ στερεόν ᾧ δαμάζει

μέγα , στίχας ἀνδρῶν

ὀργίζεται ἀλκίμου πατρὸς θυγάτηρ

ἡρώων, τοῖσίν τε ,

ἔβη... κάτα: κατέβη Ὀλύμπου κορυφῶν πηδήσασα

δὲ ’ ,

ἔστη ἐν προθύροις Ὀδυσσέως

δ’ Ἰθάκης δήμῳ ἐπὶ ’ ,

εἰσόδου τοῦ οἴκου τῇ χειρί εἶχε

ἐπ’ αὐλείου· δ’ χάλκεον ἔγχος,

εἰδομένη ξείνῳ, Ταφίων ἡγήτορι, Μέντῃ.

< ἄγαν + ἄνδρας: ἀλκίμους

εὗρε δ’ ἄρα μνηστῆρας · οἱ μὲν ἔπειτα

παιγνίοις τισί, κύβοις πρό θυρῶν ἐτέρποντο

,

καθήμενοι δοραῖς, δέρμασιν

ἐν , οὓς ἔκτανον αὐτοί.

ἀκάματοι

κήρυκες δ’ αὐτοῖσι καὶ θεράποντες

οἱ μὲν ἄρ’ οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,

πολλὰ τρήματα (τρύπας) ἔχουσι

οἱ δ’ αὖτε σπόγγοισι τραπέζας

ἔνιπτον, ἔπλυνον προυτίθεσαν διῄρουν

καὶ , τοὶ δὲ κρέα πολλὰ .

εἶδεν

τὴν δὲ πολὺ πρῶτος Τηλέμαχος θεοειδής·

ἐκαθέζετο περίλυπος τὴν ψυχήν

γὰρ ἐν μνηστῆρσι φίλον ,

ὁρῶν καλόν ἐν
πατέρ’ φρεσίν, εἴ ποθεν ἐλθὼν
διασκορπισμόν, ἀπέλασιν οἴκοι
μνηστήρων τῶν μὲν θείη,
κυριαρχοίη
τιμὴν δ’ αὐτὸς ἔχοι καὶ κτήμασιν οἷσιν .
ἑώρακε
τὰ φρονέων μνηστῆρσι μεθήμενος ’ Ἀθήνην,
εὐθέως ὠργίσθη
βῆ δ’ προθύροιο, δ’ ἐνὶ θυμῷ
ξένον πολὺν καιρόν θύραις ἐγγύς
ἐφεστάμεν· δὲ στὰς
εἷλε
χεῖρ’ δεξιτερὴν καὶ ἐδέξατο χάλκεον ἔγχος,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
παρ’ ἡμῖν φιλήσῃ: φιλοξενῇ, ξενίζῃ
“Χαῖρε, ξεῖνε, ’ · αὐτὰρ ἔπειτα
γευσάμενος, φαγών εἰπέ τίνος χρείαν ἔχεις
δείπνου ”.
οὕτως ἠκολούθει
εἰπὼν ἡγεῖθ’, ἡ δ’ Παλλὰς Ἀθήνη.
ἐντός ἦσαν
οἱ δ’ ὅτε δή ῥ’ δόμου ὑψηλοῖο,
ἔγχος μέν ῥ’ ἔστησε φέρων πρὸς κίονα μακρὴν
δόρατος δοχεῖον εὐξέστου
ἔντοσθεν , ἔνθα περ ἄλλα

ὅπλα Ὀδυσσέως τλήμονος

’ ἵστατο πολλά,

λινοῦν σκέπασμα, ὕφασμα

αὐτὴν δ’ ἐς θρόνον εἷσεν ἄγων, ὑπὸ πετάσσας,

εὖ πεποιημένον σκαμνίον, ὑποπόδιον ἦν

καλὸν · ὑπὸ δὲ ποσὶν .

δίφρον, καθέδραν παρ...έθετο χωρίς

δ’ αὐτὸς ποικίλον, ἄλλων

ἐνοχλούμενος θορύβῳ

μνηστήρων, μὴ ξεῖνος

κορέσαιτο θρασέσιν, ὑβρισταῖς ἐπιπεσών

δείπνῳ , ,

ἠδ’ ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.

ὕδωρ δούλη

δ’ προχόῳ ἐπέχευε φέρουσα

καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,

ἔστρωσεν

νίψασθαι· παρὰ δὲ ξεστὴν τράπεζαν.

σεβαστή, ἀξιότιμος ταμίας, οἰκονόμος (*θηλ.*)

σῖτον δ’ παρέθηκε φέρουσα,

ἐδέσματα (< ἔδαρ, ἔδω)

πόλλ’ ἐπιθεῖσα, χαριζομένη παρεόντων·

κρεῶν ἄρας

δαιτρὸς δὲ πίνακας παρέθηκεν

τούτοις παρετίθει

παντοίων, δέ χρύσεια κύπελλα,

αὐτοῖς θαμά, συχνῶς

κῆρυξ δ’ ’ ἐπῴχετο οἰνοχοεύων.

ἐς δ’ ἦλθον μνηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα

ἑξῆς, κατὰ σειράν

ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.

τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,

δοῦλαι ἐσώρευον πλησίον κανοῖς

σῖτον δὲ ἐν ,

ἐπλήρουν ποτοῦ

κοῦροι δὲ κρητῆρας .

ἡδύσματα ἐξέτεινον τὰς χεῖρας

οἱ δ’ ἐπ’ ’ ἑτοῖμα .

ποτοῦ ἐδέσματος ἐκορέσθησαν

αὐτὰρ ἐπεὶ καὶ

ἔμελεν

μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα ,

ᾠδή, τὸ ᾄδειν χορός

τ’ τε· τὰ γάρ τ’ ἀναθήματα δαιτός.

μάλα καλήν

κῆρυξ δ’ ἐν χερσὶν κίθαριν θῆκε

ἦδεν

Φημίῳ, ὅς ῥ’ παρὰ μνηστῆρσιν ἀνάγκῃ.

ἦ τοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν,

αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην,

ἐγγύς μάθοιεν

σχὼν κεφαλήν, ἵνα μὴ οἱ ἄλλοι.

## Bibliografía

Δούκας, N. (1835), *Ὅμηρος παραφρασθείς, σχολιασθείς τε καὶ ἐκδοθείς*, Ἀνδρέας Κορομηλᾶς ἐκδ., Egina.

Ernst, N. (2004), *Die D-Scholien zur Odyssee. Kritische Ausgabe*, Universität zu Köln, Colonia.

Fevronia, N. (2016), *Byzantine textbooks of the Palaeologan period*, Biblioteca Apostolica Vaticana, Ciudad del Vaticano.

Jerez Sánchez, G. (2018), "Στὶς ἀμμουδιὲς τοῦ Ὁμήρου: una propuesta para leer a Homero", *Thamyris* 9, 213-228.

Pontani, F. (2007-2015), *Scholia Graeca in Odysseam I-III*, Edizioni di storia e letteratura, Roma.

WEST, M. L. (2014), *The Making of the 'Odyssey'*, Oxford University Press, Oxford.

— (2017), *Odyssea*, Teubner, Wiesbaden.